# ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Α

*Παῦλος ἀπόστολος Χριστοῦ Ἰησοῦ κατ᾽ ἐπι-* 1 Kol 1,27.
*ταγὴν θεοῦ σωτῆρος ἡμῶν καὶ Χριστοῦ Ἰησοῦ τῆς*
*ἐλπίδος ἡμῶν* ¹ *Τιμοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει·* 2 Tt 1,4.
*χάρις, ἔλεος, εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ Χρι-*
*στοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν.*
*Καθὼς παρεκάλεσά σε προσμεῖναι ἐν Ἐφέσῳ,* 3 Act 20,1.
*πορευόμενος εἰς Μακεδονίαν, ἵνα παραγγείλῃς*
*τισὶν μὴ ἑτεροδιδασκαλεῖν* ¹ *μηδὲ προσέχειν μύθοις* 4 4,7.
*καὶ γενεαλογίαις ἀπεράντοις, αἵτινες ἐκζητήσεις*
*παρέχουσιν μᾶλλον ἢ οἰκονομίαν θεοῦ τὴν ἐν*

---

1,4 *οικονομιαν* : h[r] *οικοδομην*

---

1,1 *επαγγελιαν*   2 *πατρος ημων*   4 *ζητησεις*

R 13,10. G 5,6. 5 πίστει, τὸ δὲ τέλος τῆς παραγγελίας ἐστὶν ἀγάπη
ἐκ καθαρᾶς καρδίας καὶ συνειδήσεως ἀγαθῆς καὶ
6,4.20. 6 πίστεως ἀνυποκρίτου, ὧν τινες ἀστοχήσαντες ἐξ-
7 ετράπησαν εἰς ματαιολογίαν, θέλοντες εἶναι νομο-
διδάσκαλοι, μὴ νοοῦντες μήτε ἃ λέγουσιν μήτε
R 7,12. 8 περὶ τίνων διαβεβαιοῦνται. Οἴδαμεν δὲ ὅτι κα-
9 λὸς ὁ νόμος, ἐάν τις αὐτῷ νομίμως χρῆται, ˈεἰδὼς
τοῦτο, ὅτι δικαίῳ νόμος οὐ κεῖται, ἀνόμοις δὲ καὶ
ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς, ἀνοσίοις
καὶ βεβήλοις, πατρολῴαις καὶ μητρολῴαις, ἀνδρο-
6,3. 10 φόνοις, ˈπόρνοις, ἀρσενοκοίταις, ἀνδραποδισταῖς,
ψεύσταις, ἐπιόρκοις, καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ
6,15. 11 διδασκαλίᾳ ἀντίκειται, κατὰ τὸ εὐαγγέλιον τῆς
δόξης τοῦ μακαρίου θεοῦ, ὃ ἐπιστεύθην ἐγώ.
Act 9,15. 12 Χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ
1 K 15,9.10. G 1,13–16. τῷ κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο θέμενος
13 εἰς διακονίαν, τὸ πρότερον ὄντα βλάσφημον καὶ
διώκτην καὶ ὑβριστήν· ἀλλὰ ἠλεήθην, ὅτι ἀγνοῶν
14 ἐποίησα ἐν ἀπιστίᾳ, ὑπερεπλεόνασεν δὲ ἡ χάρις
τοῦ κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης τῆς
L 15,2; 19,10. 15 ἐν Χριστῷ Ἰησοῦ. πιστὸς ὁ λόγος καὶ πάσης
ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς
τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι· ὧν πρῶτός εἰμι
16 ἐγώ· ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ
ἐνδείξηται Χριστὸς Ἰησοῦς τὴν ἅπασαν μακρο-
θυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πι-
R 16,27. 17 στεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον. Τῷ δὲ βα-
σιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ θεῷ,
τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.
6,12. Jd 3. 18 Ταύτην τὴν παραγγελίαν παρατίθεμαί σοι, τέκνον
Τιμόθεε, κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας,

---

*4* TW *πιστει·* *12* h *ενδυναμουντι* *16* hT *Ιησους Χριστος* *17* TW *αφθαρτω αορατω μ.*

---

*8 χρησηται* *12 και χαριν* *13 το : τον* | *οντα με* *17 μονω : + σοφω*

ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν, ¹ἔχων 19 3,9; 6,10.
πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἥν τινες ἀπωσά-
μενοι περὶ τὴν πίστιν ἐναυάγησαν· ὧν ἐστιν Ὑμέ- 20 2 T 2,17.
ναιος καὶ Ἀλέξανδρος, οὓς παρέδωκα τῷ σατανᾷ, 1 K 5,5.
ἵνα παιδευθῶσιν μὴ βλασφημεῖν.

Παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι 2 Ph 4,6.
δεήσεις, προσευχάς, ἐντεύξεις, εὐχαριστίας, ὑπὲρ
πάντων ἀνθρώπων, ὑπὲρ βασιλέων καὶ πάντων 2
τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα ἤρεμον καὶ ἡσύχιον
βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.
τοῦτο καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος 3 1,1; 4,10.
ἡμῶν θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι 4 Ez 18,23. 2 P 3,9.
καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. εἷς γὰρ θεός, 5 R 3,29.30.
εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος H 12,24.
Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ 6 G 1,4; 2,20 Tt 2,14.
πάντων, τὸ μαρτύριον καιροῖς ἰδίοις· εἰς ὃ ἐτέθην 7 2 T 1,11.
ἐγὼ κῆρυξ καὶ ἀπόστολος, ἀλήθειαν λέγω, οὐ G 2,7.8.
ψεύδομαι, διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀλη-
θείᾳ. Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας 8
ἐν παντὶ τόπῳ ἐπαίροντας ὁσίους χεῖρας χωρὶς
ὀργῆς καὶ διαλογισμοῦ. Ὡσαύτως γυναῖκας ἐν 9 1 P 3,3–5.
καταστολῇ κοσμίῳ, μετὰ αἰδοῦς καὶ σωφροσύνης
κοσμεῖν ἑαυτάς, μὴ ἐν πλέγμασιν καὶ χρυσῷ ἢ
μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλ᾽ ὃ πρέπει 10 5,10.
γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν, δι᾽ ἔργων
ἀγαθῶν. Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ 11 E 5,22.
ὑποταγῇ· διδάσκειν δὲ γυναικὶ οὐκ ἐπιτρέπω, οὐδὲ 12 1 K 14,34. Gn 3,16.
αὐθεντεῖν ἀνδρός, ἀλλ᾽ εἶναι ἐν ἡσυχίᾳ. Ἀδὰμ 13 Gn 1,27; 2,7.22. 1 K 11,8.9.
γὰρ πρῶτος ἐπλάσθη, εἶτα Εὕα. καὶ Ἀδὰμ οὐκ 14 Gn 3,6.
ἠπατήθη, ἡ δὲ γυνὴ ἐξαπατηθεῖσα ἐν παραβάσει 2 K 11,3.

---

*18* **hT** *στρατευση* **2**,*8* 𝔎 *διαλογισμων* *9* **h** *κοσμιως* | 𝔎**W** *χρυσιω* *12* **W** *αλλα* *13* **H** *Εὕα*

---

**2**,*1 παρακαλει* *3 τουτο γαρ* *6 οὗ το μ. κ. ι. εδοθη* *7 ο επιστευθην* | *λεγω : + εν Χριστω* | *πιστει : γνωσει vl πνευματι* *9 ωσαυτως και τας γ.* | *και 2⁰ : η* *14 απατηθεισα*

15 γέγονεν· σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν
μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ
σωφροσύνης.
Act 20,28. 3 Πιστὸς ὁ λόγος· εἴ τις ἐπισκοπῆς ὀρέγεται,
Tt 1,6.7. 2 καλοῦ ἔργου ἐπιθυμεῖ. δεῖ οὖν τὸν ἐπίσκοπον
ἀνεπίλημπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφά-
λιον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν,
3 ˈμὴ πάροινον, μὴ πλήκτην, ἀλλὰ ἐπιεικῆ, ἄμαχον,
1 Sm 2,12. 4 ἀφιλάργυρον, ˈτοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον,
τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος,
5 (εἰ δέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδεν,
6 πῶς ἐκκλησίας θεοῦ ἐπιμελήσεται;) μὴ νεόφυτον,
ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου.
5,10. 7 δεῖ δὲ καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν,
1 K 5,12.13. 2 K 8,21. ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ καὶ παγίδα τοῦ
Ph 1,1. Act 6,3. 8 διαβόλου. Διακόνους ὡσαύτως σεμνούς, μὴ δι-
λόγους, μὴ οἴνῳ πολλῷ προσέχοντας, μὴ αἰσχρο-
9 κερδεῖς, ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν
10 καθαρᾷ συνειδήσει. καὶ οὗτοι δὲ δοκιμαζέσθω-
σαν πρῶτον, εἶτα διακονείτωσαν ἀνέγκλητοι ὄντες.
Tt 2,3. 11 γυναῖκας ὡσαύτως σεμνάς, μὴ διαβόλους, νηφα-
2. 12 λίους, πιστὰς ἐν πᾶσιν. διάκονοι ἔστωσαν μιᾶς
γυναικὸς ἄνδρες, τέκνων καλῶς προϊστάμενοι καὶ
13 τῶν ἰδίων οἴκων. οἱ γὰρ καλῶς διακονήσαντες
βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται καὶ πολλὴν
14 παρρησίαν ἐν πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ. Ταῦτά
2 T 2,20. 15 σοι γράφω ἐλπίζων ἐλθεῖν πρὸς σὲ ἐν τάχει· ἐὰν
E 2,19—22. δὲ βραδύνω, ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ θεοῦ
ἀναστρέφεσθαι, ἥτις ἐστὶν ἐκκλησία θεοῦ ζῶντος,
J 1,14. J 16,10. R 1,4. Mc 16,19. 16 στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας. καὶ ὁμολο-

---

*15.3,1* H *σωφροσυνης· πιστ. ο λογος. (Ει τις* nov. sect. inc.) 3,*1 Πιστος* : h[r] *ανθρωπινος* *4* W *, μετα* *14* H [*προς σε*] RW *πρός σε* | T *τάχιον* W *ταχεῖον*

---

3,*3 πληκτην* : + *μη αισχροκερδη* *7 δε* : + *αυτον* *8* — *σεμνους* *14* — *προς σε* *15.16 ζωντος. et αληθειας και*

γουμένως μέγα ἐστὶν τὸ τῆς εὐσεβείας μυ-
στήριον·

ὃς ἐφανερώθη ἐν σαρκί,
ἐδικαιώθη ἐν πνεύματι,
ὤφθη ἀγγέλοις,
ἐκηρύχθη ἐν ἔθνεσιν,
ἐπιστεύθη ἐν κόσμῳ,
ἀνελήμφθη ἐν δόξῃ.

Τὸ δὲ πνεῦμα ῥητῶς λέγει ὅτι ἐν ὑστέροις 4 2 T 3,1. 2 P 3,3.
καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέ- Jd 18. 1 J 2,18.
χοντες πνεύμασιν πλάνοις καὶ διδασκαλίαις δαι-
μονίων, ' ἐν ὑποκρίσει ψευδολόγων, κεκαυστηριασ- 2
μένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν, 3 Gn 9,3.
ἀπέχεσθαι βρωμάτων, ἃ ὁ θεὸς ἔκτισεν εἰς μετά- 1 K 10,30.31.
λημψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνω-
κόσι τὴν ἀλήθειαν. ὅτι πᾶν κτίσμα θεοῦ καλόν, 4 Gn 1,31.
καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανό- Act 10,15.
μενον· ἁγιάζεται γὰρ διὰ λόγου θεοῦ καὶ ἐντεύ- 5
ξεως. Ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς καλὸς 6
ἔσῃ διάκονος Χριστοῦ Ἰησοῦ, ἐντρεφόμενος τοῖς
λόγοις τῆς πίστεως καὶ τῆς καλῆς διδασκαλίας
ᾗ παρηκολούθηκας· τοὺς δὲ βεβήλους καὶ γραώ- 7 1,4; 6,20.
δεις μύθους παραιτοῦ. γύμναζε δὲ σεαυτὸν πρὸς 2 T 2,16.23.
εὐσέβειαν. ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον 8 6,6. Tt 1,14; 3,9.
ἐστὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέ-
λιμός ἐστιν, ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ
τῆς μελλούσης. πιστὸς ὁ λόγος καὶ πάσης ἀπο- 9 1,15.
δοχῆς ἄξιος· εἰς τοῦτο γὰρ κοπιῶμεν καὶ ἀγωνι- 10 2,3.4.
ζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ θεῷ ζῶντι, ὅς ἐστιν
σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν.

---

*16 ος* : $h^r$ *ὃ et θεος* **4**,*1.2* W *δαιμονιων εν* *3 κωλ. ... βρωματων* : $h^s$ *fort γαμειν απεχεσθαι pro γαμειν και γενεσθαι vl γαμειν η απτεσθαι* | W *αληθειαν,* *6* **h** *παρηκολουθησας* *10 αγωνιζ.* : **hW** *ονειδιζομεθα* | **h** *ηλπισαμεν*

---

*16 ομολογουμεν ως μ.* **4**,*1 πλανης* *2 κεκαυτηρ.* *6 ης* *10 γαρ* : + *και*

11 12 Παράγγελλε ταῦτα καὶ δίδασκε. μηδείς σου
Tt 2,15. τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου
τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ,
13 ἐν πίστει, ἐν ἁγνείᾳ. ἕως ἔρχομαι πρόσεχε τῇ
5,22. 14 ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ. μὴ
Act 6,6; 8,17. ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ
προφητείας μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσ-
15 βυτερίου. ταῦτα μελέτα, ἐν τούτοις ἴσθι, ἵνα σου
R 11,14. 16 ἡ προκοπὴ φανερὰ ᾖ πᾶσιν. ἔπεχε σεαυτῷ καὶ
τῇ διδασκαλίᾳ, ἐπίμενε αὐτοῖς· τοῦτο γὰρ ποιῶν
καὶ σεαυτὸν σώσεις καὶ τοὺς ἀκούοντάς σου.
Lv 19,32. 5 Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς, ἀλλὰ παρακάλει
2 ὡς πατέρα, νεωτέρους ὡς ἀδελφούς, ¹ πρεσβυτέρας
ὡς μητέρας, νεωτέρας ὡς ἀδελφὰς ἐν πάσῃ ἁγνείᾳ.
5. 3 Χήρας τίμα τὰς ὄντως χήρας. εἰ δέ τις χήρα
4 τέκνα ἢ ἔκγονα ἔχει, μανθανέτωσαν πρῶτον τὸν
ἴδιον οἶκον εὐσεβεῖν καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς
προγόνοις· τοῦτο γάρ ἐστιν ἀπόδεκτον ἐνώπιον
Jr 49,11. 5 τοῦ θεοῦ. ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη
L 2,37; 18,7. ἤλπικεν ἐπὶ [τὸν] θεὸν καὶ προσμένει ταῖς δεήσε-
6 σιν καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας· ἡ
7 δὲ σπαταλῶσα ζῶσα τέθνηκεν. καὶ ταῦτα παράγ-
8 γελλε, ἵνα ἀνεπίλημπτοι ὦσιν. εἰ δέ τις τῶν
ἰδίων καὶ μάλιστα οἰκείων οὐ προνοεῖται, τὴν
9 πίστιν ἤρνηται καὶ ἔστιν ἀπίστου χείρων. Χήρα
καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα,
H 13,2. 10 ἑνὸς ἀνδρὸς γυνή, ¹ ἐν ἔργοις καλοῖς μαρτυρουμένη,
J 13,14. εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας
ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ
11 ἀγαθῷ ἐπηκολούθησεν. νεωτέρας δὲ χήρας παραι-
τοῦ· ὅταν γὰρ καταστρηνιάσωσιν τοῦ Χριστοῦ,

*12* H *αγνια* **5,2** H *αγνια* *5* hTW— [*τον*] | *θεον* : hW *Κυριον* *8* 𝔎W *προνοει*

*12 αγαπη* : + *εν πνευματι* *14 πρεσβυτερου* *15 εν πασιν* **5,4** *καλον και αποδ.* *8 οικειων* : pr *των*

γαμεῖν θέλουσιν, ἔχουσαι κρίμα ὅτι τὴν πρώτην 12
πίστιν ἠθέτησαν· ἅμα δὲ καὶ ἀργαὶ μανθάνουσιν 13 2 Th 3,11.
περιερχόμεναι τὰς οἰκίας, οὐ μόνον δὲ ἀργαὶ
ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ
δέοντα. βούλομαι οὖν νεωτέρας γαμεῖν, τεκνο- 14 1 K 7,9.
γονεῖν, οἰκοδεσποτεῖν, μηδεμίαν ἀφορμὴν διδόναι
τῷ ἀντικειμένῳ λοιδορίας χάριν· ἤδη γάρ τινες 15
ἐξετράπησαν ὀπίσω τοῦ σατανᾶ. εἴ τις πιστὴ 16
ἔχει χήρας, ἐπαρκείσθω αὐταῖς, καὶ μὴ βαρείσθω
ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ.
Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς 17 R 12,8.
ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ
διδασκαλίᾳ. λέγει γὰρ ἡ γραφή· **βοῦν ἀλοῶντα** 18 Dt 25,4; 24,15. 1 K 9,9. L 10,7.
**οὐ φιμώσεις**, καί· ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ
αὐτοῦ. κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παρα- 19 Dt 19,15. 2 K 13,1. Mt 18,16.
δέχου, ἐκτὸς εἰ μὴ **ἐπὶ δύο ἢ τριῶν μαρτύρων**.
Τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε, ἵνα 20 G 2,14.
καὶ οἱ λοιποὶ φόβον ἔχωσιν. διαμαρτύρομαι 21
ἐνώπιον τοῦ θεοῦ καὶ Χριστοῦ Ἰησοῦ καὶ τῶν
ἐκλεκτῶν ἀγγέλων ἵνα ταῦτα φυλάξῃς χωρὶς προ-
κρίματος, μηδὲν ποιῶν κατὰ πρόσκλισιν. Χεῖρας 22 4,14.
ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις
ἀλλοτρίαις· σεαυτὸν ἁγνὸν τήρει. Μηκέτι ὑδρο- 23
πότει, ἀλλὰ οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχον
καὶ τὰς πυκνάς σου ἀσθενείας. Τινῶν ἀνθρώ- 24
πων αἱ ἁμαρτίαι πρόδηλοί εἰσιν προάγουσαι εἰς
κρίσιν, τισὶν δὲ καὶ ἐπακολουθοῦσιν· ὡσαύτως 25
καὶ τὰ ἔργα τὰ καλὰ πρόδηλα, καὶ τὰ ἄλλως
ἔχοντα κρυβῆναι οὐ δύνανται. Ὅσοι εἰσὶν ὑπὸ 6 E 6,5. Tt 2,9.10.
ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς

*16 τις* : W+ *πιστος ἢ* | ℵW *επαρκειτω* *19* hr— *εκτος ... μαρτυρων* *20 τους* : H+ [δε]

*18 κημωσεις* | *του μισθου : της τροφης* *21 προσκλησιν* *23 στομ.* : + *σου* *25 ωσαυτως δε* | *δυναται*

ἀξίους ἡγείσθωσαν, ἵνα μὴ τὸ ὄνομα τοῦ θεοῦ
Phm 16. 2 καὶ ἡ διδασκαλία βλασφημῆται. οἱ δὲ πιστοὺς
ἔχοντες δεσπότας μὴ καταφρονείτωσαν, ὅτι ἀδελ-
φοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί
εἰσιν καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργεσίας ἀντιλαμ-
βανόμενοι.
G 1,6–9. 2 T 1,13. 3 Ταῦτα δίδασκε καὶ παρακάλει. εἴ τις ἑτερο-
διδασκαλεῖ καὶ μὴ προσέρχεται ὑγιαίνουσιν λόγοις,
τοῖς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ᾽
4 εὐσέβειαν διδασκαλίᾳ, ˈτετύφωται, μηδὲν ἐπιστά-
μενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας,
ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλασφημίαι, ὑπόνοιαι
2 T 3,8; 4,4. T 1,14. 5 πονηραί, διαπαρατριβαὶ διεφθαρμένων ἀνθρώπων
τὸν νοῦν καὶ ἀπεστερημένων τῆς ἀληθείας, νομι-
4,8. Ph 4,11.12. H 13,5. 6 ζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν. ἔστιν δὲ
Eccl 5,14. Job 1,21. 7 πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας· οὐδὲν
γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, ὅτι οὐδὲ ἐξενεγ-
Prv 30,8. 8 κεῖν τι δυνάμεθα· ἔχοντες δὲ διατροφὰς καὶ σκε-
Prv 23,4; 28,22. 9 πάσματα, τούτοις ἀρκεσθησόμεθα. οἱ δὲ βουλό-
μενοι πλουτεῖν ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ
παγίδα καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλα-
βεράς, αἵτινες βυθίζουσιν τοὺς ἀνθρώπους εἰς
E 5,5. 10 ὄλεθρον καὶ ἀπώλειαν. ῥίζα γὰρ πάντων τῶν
κακῶν ἐστιν ἡ φιλαργυρία, ἧς τινες ὀρεγόμενοι
ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως καὶ ἑαυτοὺς
2 T 2,22. 11 περιέπειραν ὀδύναις πολλαῖς. Σὺ δέ, ὦ ἄν-
θρωπε θεοῦ, ταῦτα φεῦγε· δίωκε δὲ δικαιοσύνην,
εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονήν, πραϋπαθίαν.
1 K 9,25.26. 12 ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως, ἐπιλαβοῦ
τῆς αἰωνίου ζωῆς, εἰς ἣν ἐκλήθης καὶ ὡμολόγη-

---

*2* h αγαπητοι, *3* T προσεχεται *7* οτι : h* (err. prim., οτι fort. interpol.) *8* hW διατροφην *11* θεου : h pr του | R πραϋπάθειαν

---

*4* γεννωνται φθονοι ερεις *5* fin + αφιστασο απο των τοιουτων *7* οτι : pr δηλον *9* παγιδα(ς) + του διαβολου *10* πολλαις : ποικιλαις *11* πραοτητα *12* ην : + και

σας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρ-
τύρων. παραγγέλλω σοι ἐνώπιον τοῦ θεοῦ τοῦ 13 J 18,36.37; 19,11.
ζωογονοῦντος τὰ πάντα καὶ Χριστοῦ Ἰησοῦ τοῦ
μαρτυρήσαντος ἐπὶ Ποντίου Πειλάτου τὴν καλὴν
ὁμολογίαν, τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον ἀν- 14
επίλημπτον μέχρι τῆς ἐπιφανείας τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ, ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος 15 1,11. Ap 17,14. Dt 10,17.
καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόν-
των καὶ κύριος τῶν κυριευόντων, ὁ μόνος ἔχων 16 Ex 33,20.
ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς
ἀνθρώπων οὐδὲ ἰδεῖν δύναται· ᾧ τιμὴ καὶ κράτος
αἰώνιον· ἀμήν. Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι 17 Ps 62,11. L 12,20. R 12,16.
παράγγελλε μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ
πλούτου ἀδηλότητι, ἀλλ' ἐπὶ θεῷ τῷ παρέχοντι
ἡμῖν πάντα πλουσίως εἰς ἀπόλαυσιν, ἀγαθοεργεῖν, 18
πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι,
κοινωνικούς, ¹ ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον 19 Mt 6,20.
καλὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς ὄντως
ζωῆς. Ὦ Τιμόθεε, τὴν παραθήκην φύλαξον, 20 4,7. 2 T 1,14.
ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας καὶ ἀντι-
θέσεις τῆς ψευδωνύμου γνώσεως, ἥν τινες ἐπαγ- 21 1,6. 2 T 2,18.
γελλόμενοι περὶ τὴν πίστιν ἠστόχησαν.

Ἡ χάρις μεθ' ὑμῶν.

---

*13* TW— *σοι* | T— *του* 1° | h *Ιησου Χριστου* *17* hT *υψηλα φρονειν* | *επι* 2° : W *εν* | *θεω* : h pr *τω*

*13 ζωοποιουντος* *16 και φως* *17 θεω* : + *(τω) ζωντι* *19 οντως* : *αιωνιου* *20 καινοφωνιας* it 2 T 2,16.
Subscriptio: *εγραφη απο Λαοδικειας* + *ητις εστιν μητροπολις Φρυγιας της Καπατιανης (Πακατιανης)* vl *απο Νικοπολεως* vl *απο Αθηνων* vl *απο Ρωμης* + *δια Τιτου*

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/